5 Ἐὰν ἄρα ἀκούσωσιν ἢ πτοηθῶσιν — διότι οἶκος παραπικραίνων 5
ἐστίν —, καὶ γνώσονται ὅτι προφήτης εἶ σὺ ἐν μέσῳ αὐτῶν.
6 καὶ σύ, υἱὲ ἀνθρώπου, μὴ φοβηθῇς αὐτοὺς μηδὲ ἐκστῇς ἀπὸ 6
προσώπου αὐτῶν, διότι παροιστρήσουσι καὶ ἐπισυστήσονται ἐπὶ
σὲ κύκλῳ, καὶ ἐν μέσῳ σκορπίων σὺ κατοικεῖς· τοὺς λόγους αὐ-
τῶν μὴ φοβηθῇς καὶ ἀπὸ προσώπου αὐτῶν μὴ ἐκστῇς, διότι οἶκος
παραπικραίνων ἐστίν. 7 καὶ λαλήσεις τοὺς λόγους μου πρὸς αὐτούς, 7
ἐὰν ἄρα ἀκούσωσιν ἢ πτοηθῶσιν, διότι οἶκος παραπικραίνων ἐστίν.
8 καὶ σύ, υἱὲ ἀνθρώπου, ἄκουε τοῦ λαλοῦντος πρὸς σέ, μὴ γίνου 8
παραπικραίνων καθὼς ὁ οἶκος ὁ παραπικραίνων· χάνε τὸ στόμα
σου καὶ φάγε ἃ ἐγὼ δίδωμί σοι. 9 καὶ εἶδον καὶ ἰδοὺ χεὶρ ἐκτετα- 9
μένη πρός με, καὶ ἐν αὐτῇ κεφαλὶς βιβλίου· 10 καὶ ἀνείλησεν αὐτὴν 10
ἐνώπιον ἐμοῦ, καὶ ἐν αὐτῇ γεγραμμένα ἦν τὰ ὄπισθεν καὶ τὰ ἔμ-
προσθεν, καὶ ἐγέγραπτο εἰς αὐτὴν θρῆνος καὶ μέλος καὶ οὐαί.
1 καὶ εἶπεν πρός με Υἱὲ ἀνθρώπου, κατάφαγε τὴν κεφαλίδα ταύτην 3
καὶ πορεύθητι καὶ λάλησον τοῖς υἱοῖς Ισραηλ. 2 καὶ διήνοιξα τὸ 2
στόμα μου, καὶ ἐψώμισέν με τὴν κεφαλίδα. 3 καὶ εἶπεν πρός με 3
Υἱὲ ἀνθρώπου, τὸ στόμα σου φάγεται, καὶ ἡ κοιλία σου πλησθή-
σεται τῆς κεφαλίδος ταύτης τῆς δεδομένης εἰς σέ. καὶ ἔφαγον αὐ-
τήν, καὶ ἐγένετο ἐν τῷ στόματί μου ὡς μέλι γλυκάζον. 4 καὶ εἶπεν 4
πρός με Υἱὲ ἀνθρώπου, βάδιζε εἴσελθε πρὸς τὸν οἶκον τοῦ Ισραηλ
καὶ λάλησον τοὺς λόγους μου πρὸς αὐτούς· 5 διότι οὐ πρὸς λαὸν 5
βαθύχειλον καὶ βαρύγλωσσον σὺ ἐξαποστέλλῃ πρὸς τὸν οἶκον τοῦ
Ισραηλ 6 οὐδὲ πρὸς λαοὺς πολλοὺς ἀλλοφώνους ἢ ἀλλογλώσσους 6
οὐδὲ στιβαροὺς τῇ γλώσσῃ ὄντας, ὧν οὐκ ἀκούσῃ τοὺς λόγους
αὐτῶν· καὶ εἰ πρὸς τοιούτους ἐξαπέστειλά σε, οὗτοι ἂν εἰσήκουσάν
σου. 7 ὁ δὲ οἶκος τοῦ Ισραηλ οὐ μὴ θελήσωσιν εἰσακοῦσαί σου, 7
διότι οὐ βούλονται εἰσακούειν μου· ὅτι πᾶς ὁ οἶκος Ισραηλ φι-
λόνεικοί εἰσιν καὶ σκληροκάρδιοι. 8 καὶ ἰδοὺ δέδωκα τὸ πρόσωπόν 8
σου δυνατὸν κατέναντι τῶν προσώπων αὐτῶν καὶ τὸ νεῖκός σου
κατισχύσω κατέναντι τοῦ νείκους αὐτῶν, 9 καὶ ἔσται διὰ παντὸς 9
κραταιότερον πέτρας· μὴ φοβηθῇς ἀπ' αὐτῶν μηδὲ πτοηθῇς ἀπὸ
προσώπου αὐτῶν, διότι οἶκος παραπικραίνων ἐστίν. 10 καὶ εἶπεν 10
πρός με Υἱὲ ἀνθρώπου, πάντας τοὺς λόγους, οὓς λελάληκα μετὰ
σοῦ, λαβὲ εἰς τὴν καρδίαν σου καὶ τοῖς ὠσίν σου ἄκουε 11 καὶ 11

secutus sum; cf. etiam 5 5 14 6 45 9 || 7 διοτι] οτι B*† || 8 παραπικρ. 1⁰] + και συ Ar† | α] ο QBc || 10 οπισθεν ... εμπροσθεν] tr. B = 𝔐 (B† οπισω pro οπισθεν) | εις αυτην > B†

3 2 διηνοιξα pau.] -ξεν rel. || 4 εισελθε] pr. και B || 5 βαθυχειλον και βαρυγλωσσον] βαθυγλωσσον B† || 6 αυτων > B || 7 θελησωσιν mu.] -σουσιν BA | εισακουειν] -κουσαι B | ισραηλ ult.] pr. του AQpau. || 9 πετρας] + δεδωκα το νεικος σου A (in *O* sub ※, sed μετωπον pro νεικος)